Ὀνομήνω, ὀνομάσω. Ὀνομάζων ἀντὶ τοῦ φράζειν· ἑρμηνείας χρώμενος Δημοσθένης. Ὄνος τὸ ἐπάνω τοῦ μύλου. Ἀριστοτέλης δὲ κατ' ἀμφότερα τάσσει. Ὄνος ἄγων μυστήρια, ἐπὶ τῶν ἑτέροις κακοπαθούντων καὶ παρεχόντων εὐφροσύνην. διὰ τὸ τῶν μεγάλων μυστηρίων ἐξ ἄστεος Ἐλευσῖνάδε τοὺς ὄνους κομίζοντας αὐτοῖς τὰ ἐπιτήδεια. Τότε γὰρ θλίβονται μᾶλλον τὰ πρὸς τὴν χρείαν ἀφόρητα βαστάζοντες. Δῆμον ἐπὶ τοῦ μύλου λέγεσθαί φησιν ὅτι περιάγουσιν αὐτὸν τότε. Ὄνος εἰς ἄχυρα. Παροιμία ἐπὶ τῶν παρ' ἐλπίδας εἰς ἀγαθὰ ἐμπιπτόντων, καὶ τούτοις ἀπολαυστικῶς χρωμένων. Ὄνος ἐν μελίτταις. Κράτης τόλμαις, καὶ ὄνος ἐν μύρῳ. Παροιμία. Ὄνος λύρας. Μένανδρος Ψοφοδεεῖ ἢ ὀβελῷ. Παροιμία ὄνος λύρας ἤκουε, καὶ σάλπιγγος ὗς. Λέγεται δὲ ἐπὶ τῶν μὴ συγκατατιθεμένων μηδὲ ἐπαινούντων. Ὄνος ἀκροᾶται σάλπιγγος. Εὔπολις Ταξιάρχαις. Ὄνος ἰούλιος ζῷον πολύπουν σκωληκῶδες, ὅμοιον κόκκῳ φαίνεται. Ὄνος ὕεται ἐπὶ τῶν μὴ ἐπιστρεφομένων. Κηφισόδωρος Ἀμαζόσι. Σκώπτεις μ' ἐγὼ δὲ τοὺς λόγους ὄνος ὕομαι. Κρατῖνος Δραπέτισιν. Οἱ δὲ πυππάζουσι περιέχοντες ὁ δ' ὄνος ὕεται. Ὄνου γνάθος τόπος τῆς Λακωνικῆς. Ἅμα δὲ τις πολύφαγον. Ὄνου πόκαι, παροιμία, ἐπὶ τῶν ἀνηνύτων ὥσπερ αἱ τοιαῦται πλίνθον πλύνειν. χύτραν πλύνειν. Ὄνου θάνατος ἐπὶ τῶν ἀλλόκοτα εἰρημένων. Ὄνου παρακύψεως Ὄνου παρακύψαντος ὄρνιθας — — — ἑτέραν ἐνίσχυξεν. Ὁ δὲ δεσπότης τοῦ ἰσοῦ τῷ τοῦ ὄνου δεσπότῃ ἐνεκάλεσεν ὅθεν ἡ παροιμία. Ὄνου πόκαι ἐπὶ τῶν ἀνηνύτων καὶ τῶν μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν ἀττικῶν. ὥσπερ αἱ τοιαῦται, πλίνθον πλύνειν, ἀσκὸν τίλλειν. χύτραν ποικίλλειν εἰς κορώνας θυμιᾶν. Ἀρίσταρχος δὲ διὰ τὸ Κρατῖνον ὑποθέσθαι ἐν ᾅδου σχοινίον πλέκοντα. ὄνον δὲ τὸν πλεκόμενον ἐπεσθίοντα, οἷον ἀνακρίνοντα. Ὄνου σκιά, καὶ περὶ ὄνου σκιᾶς. Ἀριστοτέλης δὲ ἐν Διδασκαλίαις, καὶ δράματός τινος φέρει ἐπιγραφὴν ὄνου σκιάν. Οἱ δὲ πρῶτον φθέγξασθαι τοῦτο Δημοσθένην ἀπολογούμενον ὑπέρ τινος ἐπὶ μεγάλαις αἰτίαις κρινομένου. ὡς ἑώρα θορυβοῦντας τοὺς ἀκροωμένους. Παρακαλέσας γὰρ αὐτοὺς μικρὰ προσέχειν, ἤρξατο διηγεῖσθαι ὅτι Μεγαράδε ἀπιὼν μισθώσαιτο ὄνον. καύματος δὲ ἐν τῇ ὁδῷ γενομένου, ὑπὸ τὴν σκιὰν τοῦ ὄνου βουληθείη ἀναπαύσασθαι. οὐ παρῆναι γὰρ οὔτε δένδρον, οὔτ' ἄλλο τοιοῦτον οὐδέν. τὸν δὲ ὀνηλάτην κωλύειν φάσκοντα ὄνον αὐτῷ μεμισθωκέναι μόνον, οὐ μὴν καὶ σκιάν. ὥστε διατριβὴν αὐτοῖς καὶ φιλονεικίαν πολλὴν περὶ τούτου γενέσθαι. Ταῦτα δὲ εἰπὼν ὡς εἶδε τοὺς Ἀθηναίους προσέχοντας σφόδρα καὶ ἡδομένους καὶ ποθοῦντας τὰ ἑξῆς ἀκοῦσαι, ἐπέπληξεν αὐτοὺς εἰ περὶ ὄνου μὲν σκιᾶς ἀκροᾶσθαι δέονται καὶ παρακαλοῦσιν. ὑπὲρ δὲ ἀνδρὸς περὶ τοῦ ζῆν κινδυνεύοντος οὐκ ἐθέλουσιν ἀκούειν. Δῆλον, δὲ ὅτι λεγομένῳ τούτῳ ἐχρήσατο Δημοσθένης διόπερ καὶ ἐν τοῖς φιλιππικοῖς παρῳδεῖ τὴν παροιμίαν φησὶ διελεύσεσθαι τοὺς Ἀθηναίους περὶ τῆς ἐν Δελφοῖς σκιᾶς. Ὀνοταζομένη, ἐκφαυλιζομένη. Ἴσον μεγάλῳ σχήματι. Ὄντως, ἀληθῶς. Ὀνυχίζεται, ἀκριβολογεῖται. οὕτως Ἀριστοφάνης. Ὄνυχος ἕλκος οἷον ἕλκυσμα ἢ μακρὰ γραμμή. Ὤνω τις ἔλεγε μῦθον ἐλλείπει ὅτι, ὁ δὲ ἀκούων ἐκίνει τὰ ὦτα. Ὀξάλμη, σῦκα τινές. Ὀξίνη, διάθεσις, ἥν φασιν οἱ πολλοὶ τοῦ στομάχου ὀξίαν. Ὀξίνην τὸν οἶνον, οὐκ ὀξίναν, καὶ Ἕρμιππος καὶ Φιλωνίδης, καὶ οἱ ἄλλοι. Ὀξίς, λαγύνιον ὀξηρόν. Ὄξος Σφήττιον, ἴσως ἂν Σφήττιοι ὀξεῖς ὡς οἱ Ἀχαρνεῖς κακολόγοι. Ὀξύβαφον, οὐχὶ ὀξόβαφον λεκτέον. Ὀξυβελής, ὀξέως βάλλων, ἢ ὀξὺ βέλος ἔχων. Ὀξυθύμια, Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου φησί. περὶ οὗ πολλῷ ἂν δικαιότερον ἐν τοῖς ὀξυθυμίοις ἡ στήλη σταθείη, ἢ ἐν τοῖς ἡμετέροις ἱεροῖς. Ἔνιοι μὲν οὖν εἰσὶ καὶ Ἀρίσταρχος ὀξυθύμια λέγεσθαί φασι τὰ ξύλα ἀφ' ὧν ἀπάγχονταί τινες. ἀπὸ τοῦ ὀξέως τοῦ θυμοῦ χρῆσθαι. Ταῦτα δὲ ἐκκόπτοντες ἐξορίζουσι καὶ καίουσι. Δίδυμος δὲ φησιν ὀξυθύμια τὰ καθάρματα λέγεσθαι, καὶ ἀπολύματα. Ταῦτα γὰρ ἀποφέρεσθαι εἰς τὰς τριόδους ὅταν τὰς οἰκίας καθαίρωσιν. Ὀξυθύμια ὅσα καθαίροντες τὰς οἰκίας Ἀθηναῖοι νύκτωρ ἔθος εἶχον ἐν ταῖς τριόδοις τιθέναι, ταῦτα ὀξυθύμια καλοῦσι. Ὀξυθύμια τὰ ἀποκαθάρματα τῶν μυσαρῶν. οἱ δὲ τὰ ἀγχονιμαῖα ξύλα. Οἱ δὲ τοὺς τόπους ἐν οἷς τὰ τοιαῦτα κατεκαίετο. Εὔπολις Δήμοις. Ὀξυθυμεῖσθαι, οὐχὶ ὀξυθυμεῖν ~~[illegible]~~ λέγουσιν τὸ ὀργίζεσθαι ἀκροχόλως. Ὀξυπρώρῳ ταύρῳ, ὀξυκέρατι. Ὀξυρεγμεῖν, ὅταν μεθ' ἡμέραν ἐπεξίσῃ ἡ τροφή. Ἀριστοφάνης ἐν σκηναῖς καταλαμβανούσαις τὴν ὀξυθυμίαν οὕτως ἔφη. καὶ μὴν ἀκούσιον ὦ γύναι θυμοῦ δίχα, καὶ πρῖνον αὐτῇ μὴ ὀξυρεγμ — — — — Ὀξύρροπον, ὀξέως θέον. Ὀξυωπέστερος, ὀξύτερον βλέπων. Ὀξυωπεῖν, ὀξέως βλέπειν. Ὀπαζόμεναι, θεραπεύουσαι καὶ ἑπόμεναι. Ὀπαδοὺς ἐκ τῶν ὀπισω δεῖν. Ὀπαία κεραμίς, ἡ τὴν κάπνην ἔχουσα. Δίφιλος Χρυσοχόῳ. διαδύεις ὁρῶ διὰ τῆς ὀπαίας κεραμίδος σφόδρα. Ὀπὰ φωνήν. Ὀπαδός, ἀκόλουθος. Ὀπάζει, δωρεῖ, ἢ παρέχει, ἢ διώκει. Ὀπῇ, ὅπου. Ὀπήλικτον, οὐχὶ τρώγλην. Ὀπὴ δὲ οὐκ ἔστιν ἰδεῖν, ἔνθεν καὶ ὀπήλιον. Ὀπισώτω παρατηρεῖν. Ὀπισθόδομος, τὸ ὄπισθεν — — — οἰκήματος ἢ τοῦ μέσον τῆς πόλεως ἐν ἀκροπόλει, ὄπισθεν τοῦ τῆς Ἀθηνᾶς νεώ. Ὀπισθοφύλακα, τὴν οὐραγίαν οἱ Βοιωτοί. Ὄπισθεν ἁ— Ὄπισθεν κατόπιν ἱππεύουσιν. Ὀπιστάγορον, τὸν πεπηγότα ὑπὸ ~~[illegible]~~ ὀπῆς. Ὀπικίαν, τὴν τῶν Ὀπικῶν χώραν. Θουκυδίδης. Ὀπικοί, οἱ περὶ τὴν Ἰταλίαν οἰκοῦντες. Ὀπισθόδομος. Δημοσθένης ἐν τῷ περὶ συντάξεως. ἀνέῳξαν διόπερ ἔφασάν τινες τὸν ὀπισθόδομον. Ἐκαλεῖτο δὲ οὕτως ὁ ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς οἶκος ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα. Ὀπίτατον, τελευταιότατον. Ὁπλαί, αἱ συζυγίες τῶν ἵππων οἱ ὄνυχες. Ὁπλὰ φασί, αἱ τῶν ἀρσένων ἐργασίαι. Ὁπλή, ἡ κυκλοειδὴς ποὺς τῶν κτηνῶν, οἷον βοῶν προβάτων, καὶ τῶν λοιπῶν τῶν ἐχόντων μικροὺς ὄνυχας ἐν τοῖς τῶν ποδῶν ὀπισθίοις. Ὁπλιτεύειν, ὁπλίζεσθαι. Ὁπλίτθομαι, οὐ πείθομαι. καὶ τοῦτο Βοιώτιον. Ἀριστοφάνης Ἐκκλησιαζούσαις. Ὄπιος χείρ, πλουσιοχείρ. Πλουσίοις. Ὄπιον νέφος, μέγα, πολὺ ηὐξημένον. Σοφοκλῆς Θησεῖ. Ὀπωρίζειν ~~[illegible]~~ ὅλως τὸ τρόφιμον. Ὅποι, ὅπου. Ὁποιποτε, ὅπου ποτέ. Ὀπὸς τὸ τῶν δένδρων δάκρυον. καὶ τὸ ἀποστάλαγμα τοῦ γάλακτος. Ὁπότερος, ὁποῖος. Ὁποτέρωθεν, ἀπὸ ποίου μέρους. Ὀπυγεδή. Ὁποτυχών, οὐχ ὁ προστυχών. Ὀπτανεῖον, τὸ μαγειρεῖον. Ὀπτῆρες, κατασκόποι. Ὀπτήρια, ἀνακαλυπτήρια. Ὄπωπα, ἐθεασάμην. Ὀπωσίνη, ὀπωροκίνα. Ὀπωρῶνας, ὠνητὰς ὀπώρας. Ὄρασις καὶ σκοπή. Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην ἀντὶ τοῦ βλέπε τοῖς ὀφθαλμοῖς. Ὁρᾶτε ἀντὶ τοῦ ἐπιθυμεῖτε. Ὁ αὐτὸς ἐν τῷ περὶ τῆς παραπρεσβείας. Ὀργᾶν, τὸ ἐπείγεσθαι. καὶ κατοργᾶν τὸ κατεπείγειν. Ὄργανα χρόνου. ἐν Τιμαίῳ· τοὺς πλανήτας τοὺς δύο σελήνης τοὺς δ' ἄλλα ὅσα ὄργανα χρόνου. Ὀργὰς χωρίον ὅσον ἄλσει μέγα. Καὶ ὀργεῶνες, οἱ εἰς τοῦτο συνάγοντες, καὶ τοῖς ἐνταῦθα θεοῖς ὀργιάζοντες. Ὀργὰς ~~[illegible]~~ τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία καὶ οὐκ ἐπεργαζόμενα οὕτω καλοῦνται. ὅθεν καὶ ἡ Μεγαρικὴ ὀργὰς προσωνομάσθη τοιαύτη τις οὖσα. Ὄργια, θυσία, τελετή, μυστήρια. Ὀργεῶνας, ἰδίως λόγος ἐστὶν ὡς ὀργεῶνας. Ὀργεῶνες δὲ εἰσὶν οἱ ἐπὶ τιμῇ θεῶν ἢ ἡρώων συνιόντες. Ὀργιάζειν γάρ ἐστι τὸ θύειν καὶ τὰ νομιζόμενα δρᾶν. Ἢ παρὰ τὸ ὀρέγειν τὼ χεῖρε. Ἢ παρὰ τὰ ὄργια. Ἢ διὰ τὸ ἐν ταῖς ὀργάσι καὶ τοῖς ἄλσεσι δρᾶν. Οἱ μέντοι ποιηταὶ ἐπ' ἄλλον τάγμα ἁπλῶς ἐπὶ τῶν ἱερέων. μήποτε δὲ ὕστερον νενόμισται τὸ ἐπὶ τιμῇ τινες τῶν ἀποθανόντων συνιέναι, καὶ ὀργεῶνας ὀνομάζεσθαι, ὡς ἐστι συνιδεῖν ἐκ τῶν Θεοφράστου Διαθηκῶν. Ὀργιάσεις, μαλάξεις. Ὀργιάζων, θύων, ἐπιτελῶν. Ὀργᾶν, ἐπιθυμεῖν. Ὀργάς, ἡ εὔγειος καὶ σύμφυτος ἢ λισσὰ καὶ ἀκαζμία. Ὄργια Μυστήρια, ἱερά. Ὀργεῶνες οἱ τοῖς ἰδίᾳ ἀφιδρυμένοις θεοῖς ὀργιάζοντες. Ὀργιαζόμενα ἐστὶ τὰ τῶν θεῶν ὄργια τελεῖν τουτέστι μυστήρια καὶ νόμιμα. Νόμων δ' ἦν κεκτῆσθαι ἔξω ἐν ἰδίαις οἰκίαις ἱερά. Τὸν δὲ φανέντα κεκτημένον ἱερὰ καὶ ὀργιάζοντα πλὴν τὰ δημόσια. Σέλευκος δὲ ἐν τῷ ὑπομνήματι τῶν Σόλωνος ἀξόνων ὀργεῶνας φησὶ καλεῖσθαι τοὺς συνόδους ἔχοντας περί τινας ἥρωας ἢ θεούς. ἤδη δὲ μεταφέρουσι καὶ τοὺς ἱερεῖς οὕτω καλοῦσιν. Ὁ γοῦν Ἀντίμαχος ἐν τῇ Λυδῇ νικᾷ. Βάρβαροι οἷκεν ἀβακλέες ὀργεῶνας. καὶ ὁ Αἰσχύλος ἐν Μυσοῖς τὸν ἱερέα τοῦ Καΐκου προσαγορεύων ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεών. Εὐχαῖς δὲ

http://digital.slub-dresden.de/ppn346246385/52